## 24 DECEMBRIE

# SLUJBA SF.CUVIOS NICOLAE OSTAŞUL DIN BULGARIA



## MINEIUL PE DECEMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 24 Δεκεμβρίου
# Ἀκολουθία Ὁσίου ΝΙΚΟΛΑΟΥ τοῦ ἀπό στρατιωτῶν

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Νικολάου τοῦ σώφρονος, ἡ σεβάσμιος ἔλαμψεν μνήμη, δεῦτε ἅπαντα συναθροίσθητε, στρατιωτῶν τὰ συστήματα, τὸν μέγαν ὑμνήσατε στρατιώτην τοῦ Χριστοῦ, τὸν παγίδας συντρίψαντα τοῦ ἐχθροῦ, στεῤῥῶς, καὶ τὸ στέφος χειρὶ τοῦ Ἀθλοθέτου κομισάμενος καὶ νίκης τρόπαια στήσαντα χάριτι.

Ὥσπερ ἔαρ ἡδύπνοον, ἐν χειμῶνι ἀνέτειλε, ἡ σεπτή σου μνήμη, σοφὲ Νικόλαε, εὐωδιάζουσα ἅπαντας, μύροις τῆς ἁγνείας σου καὶ σωφρόνου βιοτῆς ἣν διῆλθες, μακάριε, ἀπωσάμενος, βδελυρὰν ἁμαρτίαν ψυχοφθόρον, διὰ τοῦτο ἀνεδείχθης, ἐν τοῖς ἀγῶσιν ἀήττητος.

Μιαρώτατον σόφισμα γυναικὸς δολιόφρονος, παντελῶς οὐκ ἔσεισε τὴν ἀκράδαντον ψυχήν σου, μάκαρ Νικόλαε, ἐφάνης γὰρ ενδοξε, ὥς τις ἄσαρκος πυρὶ πειρασμῶν, μὴ φλεγόμενος καὶ ἀδάμαντος στεῤῥοτέραν τὴν γνώμην κεκτημένος, σαρκικῶν τε φρονημάτων, πάντων ἀνώτερος, Ἅγιε.

Ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τῆς καρτερᾶς ἐνστάσεως, τῆς καθαρᾶς σου ψυχῆς καὶ τοῦ θείου σου σώματος, στρατιῶτα πάντιμε, τοῦ Σωτῆρος Νικόλαε, πῶς οὐκ ἐφλέχθης πυρὶ συνούμενος, πῶς

καθυπέστης, σαρκὸς τὴν φλόγωσιν, πῶς τὴν διάνοιαν, ἀνωτέραν ἔστησας τῶν ἡδονῶν, ὄντως θείᾳ χάριτι, πάντα ὑπέμεινας.

**Τ**ρίπλοκον λαμπρὸν διάδημα, τὴν κορυφήν σου κοσμεῖ, στρατιῶτα Νικόλαε, ὡς τρισσῶς νικήσαντα τὸν ἀρχέκακον δράκοντα καὶ τρεῖς τὴν κάραν αὐτοῦ συντρίψαντα, τῆς παρθενίας μαχαίρᾳ, Ὅσιε, καὶ ἀναδείξαντα τοῦτον περιγέλασον καὶ τοῖς ποσί σοῦ καταπατούμενον, μακαριώτατε.

**Μ**όνῳ σοι ζωὴν χαρίζεται, ὁ ζωοδότης Χριστός, τοῦ ἐχθροῦ κατασφάττοντος τοὺς συστρατιώτας σου, Ἀθλοφόρε Νικόλαε, μόνος γὰρ μόνον Αὐτὸν ἠγάπησας καὶ παρθενίαν μόνος ἐτήρησας, ὅθεν καὶ μέλλουσαν τὴν ζωὴν, ἀοίδιμε, κληρονομεῖς, Παραδείσου πάντοτε οἰκῶν σκηνώματα.

Δόξα. Ἦχος πλ. β'.

**Δ**εῦτε στρατιωτῶν τὰ συστήματα, τὸν καλὸν στρατιώτην τοῦ Χριστοῦ, Νικόλαον τὸν σώφρονα, εὐφημήσωμεν. Οὗτος γὰρ μόνῳ τῷ Χριστῷ στρατευθείς, οὐκ ἐδελεάσθη τοῖς τοῦ πονηροῦ σοφίσμασι, ὑποβάλλοντος σαρκὸς τὸν μολυσμόν. Καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀμόλυντον τηρῶν τὴν θεοΰφαντον στολήν, μόνος διεφυλάχθη ἀβλαβής, σκεπώμενος τῇ θείᾳ χάριτιτι· ὅθεν καὶ κατεποίκιλε αὐτήν, ταῖς λαμπρότησι τῆς ἀσκήσεως καὶ φαιδρῶς κεκοσμημένος τῷ Σωτῆρι παρίσταται, δεόμενος ἀεὶ τοῦ διαφυλαχθῆναι τὸν φιλόχριστον στρατόν, σαρκικῶν ἁμαρτημάτων ἀνέπαφον καὶ πάντων τῶν ἐχθρῶν ἀνώτερον.

Καὶ νῦν. Προεόρτιον.
Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (κεφ. μθ’, 9).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὔκ ἐστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἐστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (κεφ. γ', 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (κεφ. ε᾿, 5 - 6, 1)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε, οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτὴν ἰδιόμελα. Ἦχος α΄.

**Ἀ**γάλλου χαρμοσύνως ἡ Βασιλεύουσα Πόλις, ὅτι τοιοῦτον ἐβλάστησας καρπόν, Νικόλαον τὸν ἀοίδιμον· ἐπ' αὐτῷ γὰρ ἐπληρώθη τὸ γραφικόν· μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν, ἀλλὰ μόνον ταῖς ὁδοῖς τοῦ Κυρίου ἐπορεύετο, παρ' Οὗ καὶ τὸν στέφανον εἴληφε, ἀδιαλείπτως πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

**Θ**αυμαστῶς σὲ ἐδόξασε, ὁ δοξάσας τοὺς Ἁγίους Αὐτοῦ Κύριος, στρατιῶτα Νικόλαε· ἐρασθεὶς γὰρ τῆς ψυχῆς σου τὸ κάλλος καὶ τὴν καθαρότητα τῆς πολιτείας σου, ἐφανέρωσε ἐν σοί τῆς προνοίας Αὐτοῦ κεκρυμμένον μυστήριον, ὁράματι γὰρ ὀφθείς καὶ τὸν ἐπικείμενον τοῖς ἁμαρτωλοῖς στρατιώταις θάνατον δείξας σοι, τὴν δέ θαυμαστήν σου διάσωσιν ἐκτυπούμενος. Οὕτω γὰρ ἀμείβει τοὺς δούλους Αὐτοῦ, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Ηχος δ'.

**Σ**τρατιῶτα Νικόλαε, θεράπον γνήσιε τοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου πιστὸς τηρητής, στρατευθεὶς τῷ Λόγῳ καὶ Θεῷ, οὐκ ἐνεπλάκης ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς· καὶ πᾶσαν βιοτικὴν ἡδονὴν βδελυξάμενος, ἠξιώθης θάνατον πικρὸν ἐκφυγεῖν, ἵνα πάντες γνωρίσωσι τῆς καθαρότητος τὴν παῤῥησίαν. Καὶ νῦν ἅπασι βοηθεῖς τοῖς στρατευομένοις, συντρίψαι τὰς παγίδας τοῦ διαβόλου καὶ καθαρῶς δουλεύειν τῷ Χριστῷ, ὅπως τύχωσι τῶν στεφάνων ἐν ἡμέρᾳ τῆς Κρίσεως.

Δόξα. Ἦχος πλ. α'.

**Τ**ὸν τῆς νίκης ἀξίως ἐπώνυμον, τὸν νικήσαντα κατὰ κράτος τοῦ διαβόλου τὴν δυναστείαν, τὸν ἐν πολέμοις ἀήττητον καὶ ἐν πειρασμοῖς καρτερικώτατον, Νικόλαον τὸν Χριστοῦ στρατιώτην πάντες μακαρίσωμεν. Οὗτος γὰρ ὡς χρυσίον καθαρὸν ἐλαμπρύνθη, τῷ πυρὶ τῶν προσβολῶν τοῦ ἐχθροῦ καὶ ἐξήστραψε τῇ στεῤῥᾷ ὑπομονῇ τῶν πόνων τῆς ἀσκήσεως. Διὸ ἐν ἀμφοτέροις διαπρέψας, διπλοῦν καὶ τὸν στέφανον εἴληφεν παρὰ τοῦ ἀθλοθέτου Θεοῦ, τοῦ σῴζοντος τοὺς εἰς Αὐτὸν ἐλπίζοντας.

Καὶ νῦν. Προεόρτιον.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

**Χ**αίροις, ὁ στρατιώτης Χριστοῦ, ὁ τὴν ψυχὴν διατηρήσας ἀμόλυντον καὶ σάρκα καταφρονήσας, καταπατῶν ἡδονάς καὶ τρυφὰς τοῦ σώματος, ἀοίδιμε. Πυρὶ μὴ φλεγόμενος πειρασμῶν, ἀλλ' ἀνάλωτον νοῦν καὶ καρδίαν, συντηρῶν θείᾳ χάριτι, ὦ Νικόλαε, σωφροσύνης κειμήλιον εὐωδιάζον, μακάριε, τοὺς πόθῳ τελοῦντας τὴν ἁγίαν σου νῦν μνήμην καὶ σὲ γεραίροντας.

Στ.: Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἐν τῷ Λιβάνω πληθυνθήσεται.

Χαίροις, ὦ στρατιῶτα Χριστοῦ, ὁ φερωνύμως νίκης φέρων τὰ τρόπαια, ὁ πᾶσαν τὴν δυναστείαν τοῦ διαβόλου πατῶν καὶ στεφθεὶς ὡς Μάρτυς, καρτερόψυχε, ἁγνὸν γὰρ τὸ σῶμά σου συντηρῶν, ἀπεδίωξας τὴν σὲ μολῦναι ἀναισχύντως σπουδάζουσαν καὶ τὸ κάλλος σου τῆς ψυχῆς κατελάμπρυνας· χαίροις τὸ χρυσαυγέστατον ἁγνείας παλάτιον, τῆς παρθενίας τὸ ἄνθος, τῆς σωφροσύνης διδάσκαλε· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει πταισμάτων ἄφεσιν.

Στ.: Θαυμαστὸς ὁ Θεό, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Χ**αίροις, στρατευομένων κανὼν καὶ θεία στάθμη καὶ βοήθεια, δεινῶς τε πολεμουμένων καταφυγὴ κραταιά καὶ λιμὴν τῶν πίστει προστρεχόντων σοι· λαμπὰς ἡ ἐκφαίνουσα, παρθενίας φῶς ἄσβεστον, κλῖμαξ ἁγνείας, ὁδηγοῦσα πρὸς μέθεξιν, ὦ Νικόλαε, τῶν Μαρτύρων ὁμότιμε· πρέσβευε πρὸς τὸν Κύριον, φυλάξαι τὸ στράτευμα, ἀπὸ παντὸς ὀλεθρίου καὶ ψυχοφθόρου κινδύνου τε, ταῖς σαῖς ἱκεσίαις, ἁγιάζων καὶ φωτίζων, Ὅσιε, πάντοτε.

Δόξα. Ἦχος πλ. δ'.

**Κ**αταφρονήσας ἀληθῶς καὶ ὡς σκύβαλα πάντα ἡγησάμενος, Ὅσιε, τὰ τοῦ κόσμου ἡδέα καὶ σαρκὸς τὰς

ἐπαναστάσεις ἀνδρικῶς καταβαλῶν, ὀπίσω ἔδραμες Χριστοῦ καὶ ὡς γνήσιος μαθητὴς ἠκολούθησας Αὐτῷ. Ὃς καὶ ἐκ πικροῦ θανάτου σὲ διέσωσε, ὡς φύλακα τῶν Αὐτοῦ ἐντολῶν· καὶ νῦν ἐν οὐρανοῖς κέκτηταί σε κληρονόμον, Νικόλαε παμμακάριστε, τῆς οὐρανίου Βασιλείας καὶ πρέσβυν θερμότατον, ὑπὲρ τοῦ φιλοχρίστου λαοῦ.

Καὶ νῦν. Προεόρτιον.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

**Τ**όν νικήσαντα πάντα διαβόλου τὰ ἔνεδρα καὶ τριπλοῦν τὸ στέφος λαβόντα, τῷ τριπλῷ τῆς ἀρνήσεως· τὸν νέον στρατιώτην τοῦ Χριστοῦ καὶ μέγαν ἐν Ὁσίοις ἀθλητήν, τὸν Νικόλαον, τὰ στίφη στρατιωτῶν ἐνδόξως μακαρίσωμεν. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ λυτρουμένῳ διὰ σοῦ, ἡμᾶς ἐκ πάσης θλίψεως.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸν ἔνσαρκον Ἄγγελον, τόν ἀσωμάτων ἐν γῇ τὸν βίον ζηλώσαντα, τὸν τῆς σαρκὸς ἡδονάς ἐνθέως πατήσαντα, μέγαν τε τῆς ἁγνείας ἐραστὴν γεγονότα, Νικόλαον τὸν γενναῖον στρατιώτην ὀφθέντα, πιστῶς ἀνευφη-μήσωμεν, πάντες φιλέορτοι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

**Ψ**υχὰς προκαθάραντες δεῦτε κατίδωμεν, σπηλαίῳ τικτόμενον τὸν Βασιλέα Χριστόν, δι᾽ ἄκραν ἀγαθότητα· βρέφος γὰρ σπαργανοῦται, ὁ τὸν κόσμον ποιήσας,

Παρθένον τὴν τετοκυῖαν, ὡς πρὸς τόκου φυλάξας· ἵνα τὸ γένος ἡμῶν λυτρώσῃ κακίας τοῦ ὄφεως.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

**Σ**κεῦος πάντιμον τῆς ἀπαθείας καὶ ὡράϊσμα τῆς παρθενίας, τῷ σῷ βίῳ ἀνεδείχθης, Νικόλαε· ἀσκητικαῖς ἀγωγαῖς γὰρ ἐνέκρωσας, τὰ τῆς σαρκὸς πάθη, Πάτερ ἀοίδιμε· ὅθεν πρέσβευε διδόναι πταισμάτων ἄφεσιν. τοῖς πόθῳ ἀναμέλπουσι τὴν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

**Μ**όνη ἔτεκες ἀνερμηνεύτως, Ὃν ἐγέννησεν Πατὴρ ἀχρόνως, ἐν σπηλαίῳ Βηθλεὲμ, Οὗ εἰς αἴνεσιν ἀγγελικαὶ στρατιαὶ εὐτρεπίζονται καὶ βασιλεῖς ἐκ Περσίδος ὁδεύουσι· Κόρη ἄφθορε ὡς βρέφος χερσὶν ἐβάστασας, τὸν χερσὶν Αὐτοῦ βαστάζοντα τὰ πέρατα.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα. Ἦχος πλ. δ'. Τὸ προσταχθέν.

**Τ**ὸν ἐκ νεότητος Χριστῷ ἀκολουθήσαντα καὶ τὰς ὁδοὺς Αὐτοῦ εὐθέως πορευόμενον, τὸν τὸν τρίπλοκον ὄφιν συντρίψαντα καιρίως, Νικόλαον τῆς ἁγνείας τὸν θησαυρόν καὶ μῦρον τῆς ἰσαγγέλου ὄντως ζωῆς, εὐφημήσωμεν ᾄσμασιν, στρατιωτῶν ἡ πληθύς, αἰτούμενοι εὐχαῖς αὐτοῦ, πειρασμῶν απολύτρωσιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

**Τ**ὸ τοῦ Ἀγγέλου Εὐαγγέλιον ὁρῶσα, ἐν τῇ Σῇ μήτρᾳ ἀληθῶς τετελεσμένον, θαμβουμένη ἠπόρεις μυστήριον τὸ ξένον· ἐγγίζοντος δὲ τεχθῆναι του Σοῦ Υἱοῦ καὶ τόπου οὐκ ὄντος, Κόρη, πρὸς ξενισμόν, ἐν πτωχότατον σπήλαιον,

μόνον ἐκ πάσης τῆς γῆς, προσφέρεταί σοι, Δέσποινα· ὢ φρικτὴ συγκατάβασις.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' Ἦχου.

Προκείμενον: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στ.: Τοῖς Ὁσίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν' ψαλμός.

Δόξα: Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...

**Ἀ**στὴρ φαεινός, ἐν τῷ τῆς Ἐκκλησίας νοητῷ στερεώματι ἐξέλαμψας, Πάτερ ὅσιε, ταῖς ἀκτῖσι τῆς σεμνῆς πολιτείας καταυγάζων τοὺς πιστούς καὶ πρὸς ὕψος καθαρότητος, ἀνάγων τοὺς ζηλοῦντάς σου τὰ ἔνθεα κατορθώματα· δι' ὧν Ἄγγελος ἐπὶ γῆς ἀνεδείχθης καὶ συμπαθὴς ἀντιλήπτωρ τῶν προσκαλουμένων σε εἰς βοήθειαν καὶ πειραζομένων ὑπὸ τοῦ ὄφεως· ταῖς πρεσβείαις σου οὖν λύτρωσαι ἡμᾶς τῶν πολυπλόκων αὐτοῦ παγίδων καὶ σῶσον τὰς ψυχὰς ἡμῶν

Κανὼν ὁ Προεόρτιος καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: Νικόλαον τὸ σκεῦος τῆς ἀπαθείας μέλπω.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

**Ν**ικόλαε φώτισον ἐσκοτισμένην διάνοιαν, τῷ βάθει τῆς δόξης σου ἐγκῦψαι θέλουσαν καὶ καταύγασον τὸν νοῦν μου ὡς ὑμνήσω, σὸν βίον τὸν ἔνθεον, Πάτερ ἀοίδιμε.

Ἰδεῖν ἐπεθύμησας, ἃ ὁ Θεὸς ἐπηγγείλατο, Αὐτὸν τοῖς λατρεύουσι καθαροτάτῃ ψυχῇ· διὸ ἔσπευσας παθῶν ἐναποπλῦναι, τὸν ῥῦπον, Νικόλαε, ὡς γνωστικότατος.

**Κ**οσμίοις ἐν ἤθεσι τὴν σὴν καρδίαν ἐκόσμησας, μέσον κόσμου ἔτι ὢν καὶ ψυχικῶς μακρυνθεὶς ματαιότητος αὐτοῦ εὐσεβοφρόνως, Νικόλαε πάνσοφε, Πνεύματος σκήνωμα.

Θεοτοκίον.

**Ὁ**λόφωτον θρόνον Σε τοῦ Βασιλέως γινώσκομεν καὶ κλίνην χρυσήλατον, ᾗ ἀνεπαύσατο ὁ ὑπέρθεος, ἐκ Σῶν ἁγνῶν αἱμάτων σαρκούμενος, Δέσποινα, δι' ἀγαθότητα.

Ὠδὴ γʹ. Τοὺς Σοὺς ὑμνολόγους.

**Λ**αοῦ κινδυνεύοντος ἐξ ἔθνους βαρβάρου, στρατείᾳ ὑπαχθεὶς τῇ ἐπιγείῳ, ἔνδοξε, πρὸς τοὺς ἀγῶνας ἔδραμες προκινδυνεύων ἄριστα τῆς σῆς πατρίδος, Νικόλαε.

**Ἀ**δούλωτον φρόνημα πλουτίσας, γυναίου ἀσέμνου προσβολῆς οὐκ ἐδουλώθης, ὅσιε Νικόλαε, ἐλεύθερον τὸν νοῦν καὶ τὴν καρδίαν σου τηρήσας, πάσης αἰσχρότητος.

**Ὁ**ράσει τῆς φαύλης γυναικός σοι ὁ ὄφις ἐγκέκρυπται, σοφέ, κρημνῖσαι σε βουλόμενος· ἀλλ' ἄσειστόν σε εὕρατο, στεῤῥῶς γὰρ ᾠκοδόμησο, τῷ θεμελίῳ τῆς πίστεως.

Θεοτοκίον.

**Ν**αόν Σε τοῦ πάντων Βασιλέως κηρύττομεν, Κόρη, εὐσεβῶς· ἐν Σοὶ γὰρ κατεσκήνωσεν καὶ εξ ἁγνων αἱμάτων σου πλαστουργηθεὶς, ἐζώωσε τοὺς νεκρωθέντας τοῖς πταῖσμασιν.

Κάθισμα. Ἦχος αʹ. Τὸν τάφον Σου Σωτὴρ.

Ἁγνείας τὴν στολὴν λαμπροτέραν ποιήσας, μὴ στέρξας οὐδαμῶς ἡδονὰς ἀκαθάρτους, φαιδροτέραν ἐποίκιλας ταύτην πόνοις ασκήσεως, ᾗ κοσμούμενος, περιχαρῶς τῷ

Κυρίῳ νῦν παρίστασαι, ὑπὲρ ἡμῶν ἱκετεύων, παμμάκαρ Νικόλαε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

**Χ**αρίτων τὴν ψυχήν θεϊκῶν ἀπειργάσω, Παρθένε, καθαρόν καὶ εὐῶδες δοχεῖον καὶ ὅλον ἐχώρησας τὸν ἀχώρητον, Δέσποινα, ἐν τῇ μήτρᾳ Σου καὶ ἀπεκύησας Τοῦτον βρέφος, Ἄχραντε, εἰς ἀπολύτρωσιν κόσμου καὶ θείαν οἰκείωσιν.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

**Τ**ρίστομον ξίφος ἐγείρας, τρὶς τὸν δράκοντα ἔπληξας, τὸ τρισσῶς συλῆσαι τὴν σὴν παρθενίαν πειρώμενον· καὶ τῇ Ἁγίᾳ Τριάδι τὸν τρισάγιον ὕμνον μέλπεις νῦν, τῇ Τρισαγίῳ Θεότητι.

**Ὁ** καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου, ὁράματι ὤφθη σοι καὶ πάντα τὰ μελλοντικὰ ἀπεκάλυψε, τὴν τῶν Ῥωμαίων στρατείαν ἐνδεικνύων σοι κατασφάττουσαν Βουλγάρων γένος, Νικόλαε.

Σοὶ ὡράθη μετὰ ταῦτα ἡ Ῥωμαίων ἀπώλεια, πάντας γὰρ ἀσπλάγχνως τὸ Βουλγάρων ἔσφαξε στράτευμα· οὐ γὰρ τῷ νόμῳ Κυρίου ἐπορεύθησαν, καταχράναντες τὴν τῆς σαρκὸς καθαρότητα.

Θεοτοκίον.

**Κ**υβερνήσει σου τῇ θείᾳ πρὸς λιμένα ὁδήγησον, τὴν ψυχήν μου, Κόρη, τῆς Τριαδικῆς ἐπιγνώσεως· ὅπως εἰς ἕνα Θεὸν πιστεύσω, Πάναγνε, ὑποστάσεσιν τρισὶν ἀεὶ προσκυνούμενον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

**Ἐ**γνώσθη σοι, Ὅσιε, προστασία ἡ ἄμαχος τοῦ δικαιοκρίτου· γῆν γάρ οἶδας πλήρη σωμάτων νεκρῶν,

Νικόλαε, τῶν συστρατευθέντων σοι· τὸν δέ τόπον τοῦ σοῦ σώματος, ὑπὸ χλόης σκεπόμενον.

Υἱὸς γὰρ ὑπάρχων σὺ καὶ δοῦλος γνησιώτατος, τοῦ ἐπουρανίου Βασιλέως, διεφυλάχθης ἐχθροῖς ἀνάλωτος καὶ μόνῳ χαρίζει ὁ Χριστός σοὶ τὸ ζῆν, Νικόλαε, αἰωνίως, μακάριε.

Οὐκ ἔχρανας, Ὅσιε, στολὴν τὴν τοῦ βαπτίσματος, πράξεσιν αἰσχύνης· οὐκ ἁγνείας τὸν θεοΰφαντον χιτῶνα ἔῤῥιξας, ἀλλ' ἄσπιλος ὅλος εὑρεθείς, Ἄγγελος ἐπίγειος ἀνεδείχθης, Νικόλαε.

Θεοτοκίον.

Σὲ μόνην ἠρετίσατο ὁ Λόγος εἰς κατοίκησιν, σὺ γὰρ ὤφθης πάντων ἀνωτέρα τῶν ποιημάτων τῇ καθαρότητι τῆς σῆς παρθενίας, Ἀγαθή· μῶμος γὰρ ἐν σοὶ σαφῶς οὐχ εὑρέθη, Πανάμωμε.

## Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Τοῦ θείου Παύλου ἀκήκοας, τὸ φεύγετε πορνείαν φωνήσαντος καὶ σὺ ἐμάκρυνας καὶ φυγαδεύων ἐλύτρωσας τὴν σὴν ψυχὴν, σκανδάλων τοῦ πολεμήτορος.

Ἡττᾶται ὄφις ὁ δόλιος, μαχαίρᾳ τῆς ἀνδρείας σου, Ὅσιε· ὤφθης γὰρ ἄσειστος τῇ προσβολῇ καὶ ἀκλόνητος, ὡς ἄσαρκός τις, Πάτερ, πολιτευόμενος.

Σαρκός τὸ ἄτακτον φρόνημα, τῷ νόμῳ τοῦ νοὸς καθυπέταξας καὶ ὡς ἀσώματος, ταῖς θαυμασίοις Δυνάμεσι, Νικόλα συνήφθης καὶ συναγάλλεσαι.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε Πανάμωμε, παλάτιον καὶ θρόνος ὑπέρτιμος, τοῦ Παντοκράτορος Λόγου, Σεμνὴ, ἐχρημάτισας καὶ κιβωτὸς ἁγία τῆς νέας χάριτος.

## Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

**Τ**ὸν στρατιώτην τοῦ Χριστοῦ τὸν γενναιότατον καὶ ἀπροσμάχητον ἐχθροῦ ταῖς ἐπιθέσεσι, τὸν Νικόλαον, ἐν ὕμνοις δοξολογοῦμεν· ἀνεδείχθη γὰρ ἁγνείας τὸ κειμήλιον καὶ κανὼν στρατιωτῶν καὶ ὑποτύπωσις· τούτῳ λέγομεν, χαίροις μάκαρ Νικόλαε.

## Ὁ Οἶκος.

**Π**ροευτρεπίσωμεν πάντες ἑαυτούς, τῇ τοῦ Χριστοῦ Γεννήσει, καθαροὶ εὑρεθῆναι ἀπὸ παντὸς μολυσμοῦ, σαρκὸς καὶ πνεύματος, ὅπως τῷ καθαρῷ ἐποφθῶμεν Δεσπότῃ, ἐν φάτνῃ κειμένῳ ὡς νήπιον καὶ ἀλογίας τὸν κόσμον λυτρουμένῳ, Τούτῳ προσάγοντες Νικόλαον τὸν ἀήττητον ἀριστέα. Οὗτος γὰρ καλῶς κατανοήσας τοῦ βίου τὴν ματαιότητα, τῶν σαρκικῶν ἡδονῶν γενναίως κατεφρόνησεν καὶ τυχὼν τῶν στεφάνων, τῆς οὐρανίου δόξης κατηξίωται. Αὐτῷ εὐφήμως ἐκβοήσωμεν, χαίροις μάκαρ Νικόλαε.

## Συναξάριον.

**Τ**ῇ ΚΔ' τοῦ αὐτοῦ μηνός μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου τοῦ ἀπὸ στρατιωτῶν.

Στίχοι·

Κανὼν πρόκειται σωφρονοῦσιν ἐν βίῳ,
ὁ Νικολάου σωφρονέστατος βίος.

**Τ**αῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

## Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

**Π**υρπολούμενος τῷ ἔρωτι, Νικόλαε, τοῦ ὑπὲρ νοῦ ἐφετοῦ, πυρὸς μελλούσης ἐνθείς, τὴν καῦσιν ὑπήνεγκας σαρκὸς τὴν πύρωσιν καὶ κατέσβεσας βέλη πυρφόρα, Ἅγιε, τοῦ δολίου σῇ ἁγνείᾳ.

Ἀνατέταλκας ὡς ἥλιος πολύφωτος τῇ Βυζαντίδι, σοφέ, καὶ πᾶσαν κατηύγασας κτίσιν, Νικόλαε, καθαρότητος καὶ παρθενίας λάμψεσι καὶ ἀκτῖσι τῆς ἁγνείας.

Θαῦμα μέγιστον ἐν σοὶ, Πάτερ, τετέλεσται, ὅρους τῆς φύσεως ἐνίκησας ἅπαντας, ὑπὲρ τὴν φύσιν ὀφθεὶς καὶ θαυμάτων σου ταῖς ἐνεργείαις, Ὅσιε, κατεπλούτισας τὸν κόσμον.

Θεοτοκίον.

Ἐθανάτωσας τὸν θάνατον, Θεόνυμφε, ζωὴν κυήσασα, τὴν ὄντως αἰώνιον τὸν Ζωοδότην Χριστόν, τὸν δωρούμενον ἀθάνασίαν, Δέσποινα, τοῖς πιστῶς Σὲ προσκυνοῦσι.

## Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς, τοῦ βίου ταῖς πραγματείαις οὐκ ἐνέπλεξας, σεαυτὸν Νικόλαε· ἔξω κόσμου, Ὅσιε, καὶ τῆς σαρκὸς γενόμενος, ἐνθέως ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄνω τῆς ψυχῆς τὸ ὄμμα ἔχων, τῆς κάτω οὐ συνηπάργης τὴν διάνοιαν, μόνον πρὸς τὸν σώζειν σε, ἀποβλέπων, ἅγιε Νικόλαε· καὶ ἔρωτι Τούτου πτερούμενος, τὸν Κύριον ὑμνεῖτε ἐβόας καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Στόμα εὐσεβείας ἀνεδείχθης, σαλπίζων τῆς σωτηρίας τὰ διδάγματα, πᾶσι τοῖς αἰτοῦσί σε λόγον παρακλήσεως· καὶ τοῦ βοᾶν προέτρεπες τοὺς πάντας, Ἅγιε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

**Μ**ῦρον πανευῶδες ὄνομά σου, μυρίζον τὰς διανοίας τῶν ὑμνοῦντών σε· μῦρον γὰρ οὐράνιον ᾤκησεν ἐν μήτρᾳ σου, τοῖς μυριπνόοις χάρισι ὅλην φαιδρῦνόν σε, Παρθένε Παναγία· διό σε πάντες εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

## Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἔχων τῆς ψυχῆς τὸ ἔνδυμα, Ὅσιε, λαμπρὸν, ἐχώρησας πρὸς τὰ ἐπουράνια τῆς βασιλείας θεῖα σκηνώματα· ἔνθα λυθέντων, Ἅγιε, νῦν τῶν ἐσόπτρων, ὁρᾷς χαρμοσύνως πρόσωπον πρὸς πρόσωπον, Ὅν ἐκ βρέφους ἠγάπησας Κύριον.

Λύχνος ἀπλανὴς ἐδείχθης, Νικόλαε, τῇ πολιτείᾳ σου, ὁδηγῶν τὸ στράτευμα πρὸς σωτηρίους ὁδοὺς, Πανένδοξε· πείθων σαρκὸς φρονήματα ὑπερορᾶν ὡς φθαρτῆς, τὴν ψυχὴν δὲ μόνην ὡς ἀθάνατον εὐτρεπίζων, ἠθῶν καθαρότητι.

Πάτερ, εὐμενῶς προσδέχου ἐφύμνια, τῇ σῇ σεπτῇ ἑορτῇ, χάριν δὲ ἀντάμειψον τὴν ἐκ Θεοῦ σοι δοθεῖσαν, Ἅγιε· ἵνα παθῶν ἀνώτεροι ὀφθέντες, Ἱερέ, οὐρανίου κλήσεως συμμέτοχοι εὑρεθῶμεν, Νικόλαε, ἅπαντες.

### Θεοτοκίον.

Ὤφθης ἀψευδῶς τῶν ἄνω Δυνάμεων τιμιωτέρα, Ἁγνή· Ὃν γὰρ οὐ δεδύνηνται ὁρᾶν ἐκεῖναι, βρέφος ἐγέννησας καί ὡς Θεὸν καὶ ἄνθρωπον ἀγκάλαις ἔφερες· καί ἐν τρόμῳ Τοῦτον προσεκύνησας, ὡς Δεσπότην τοῦ σύμπαντος, Δέσποινα.

## Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Στρατιωτῶν συστήματα συντρεχέτωσαν ὅπως, Χριστοῦ τὸν γενναιότατον στρατιώτην ἐν ὕμνοις δοξάζωσι κατὰ χρέος, Νικόλαον τὸν μεγάλως διαλάμψαντα κόσμῳ, ἐν ἐγκρατείᾳ ἅπαντα διελθόντα τὸν βίον καὶ τῆς σαρκός τὰ δυσώδη πάθη καταβαλόντα· διὸ καὶ στέφος ἄφθαρτον ἐκ Θεοῦ εἰληφότα.

### Θεοτοκίον.

Μητέρων τὸ ὀχύρωμα καὶ Παρθένων ἡ δόξα, Ὁσίων ἐγκαλ-λώπισμα, Προφητῶν ἡ διόπτρα καὶ Ἀποστόλων τὸ κλέος, καύχημα τῶν Μαρτύρων, Παρθενομῆτορ Ἄχραντε,

ἀνεδείχθης τῷ κόσμῳ· ὡς τὸν Θεόν ἐν γαστρί σου, Ἄφθορε συλλαβοῦσα, εἰς πάντων ἀπολύτρωσιν καὶ ψυχῶν σωτηρίαν.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους δ'
και ψάλλομεν Στιχηρά Προσόμοια.
Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Ἀήττητε θεῖε τοῦ Χριστοῦ, στρατιῶτα ἔνδοξε, ἐν τοῖς ἀγῶσιν διέλαμψας, πάτερ Νικόλαε, νουνεχῶς προκρίνας, τὸ κρεῖττον τῆς χείρονος, τὸ πνεῦμα τῆς σαρκός, τὴν ἁγνότητα λαγνείας, Ὅσιε, ἀσελγείας τὴν ἀπάθειαν, τῆς γεέννης οὐρανῶν τὴν οἴκησιν. (Δίς).

**Σ**τρατεύσας δυνάμεις τῆς ψυχῆς, ἀντιστρατευόμενον τῷ τοῦ νοὸς νόμῳ, Ἔνδοξε, σαρκὸς το φρόνημα, ἔτεμες μαχαίρᾳ ἀνδρικῶν ἀγώνων σου, ὡς θώρακα στεῤῥὸν τὴν ἐγκρατείαν περιβαλλόμενος καὶ ἀσπίδα πίστιν ἄμωμον, ἀπεκρούσω δόλια βουλήματα.

**Ν**ικόλαε ὅσιε, παθῶν νικητὰς ἀνάδειξον, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου τὴν ὑπερθαύμαστον· σὺ γὰρ φερωνύμως νίκης μέγα τρόπαιον, κατὰ τοῦ ἀναιδῶς σὲ πειράζοντος ἔστησας, Ἅγιε, καὶ δοχεῖον καθαρότητος, ἐγκρατείᾳ σεαυτὸν ἐτέλεσας.

Δόξα. Ἦχος β'.

Ἔνδοξος ἐν ἀγῶσι ἐδείχθης, στρατιῶτα Νικόλαε, καὶ τροπαιοῦχος μέγιστος· ἐν γὰρ τῷ πειρασθῆναί σε ὑπὸ τοῦ ἐχθροῦ, πρὸς τὴν τῆς σαρκὸς ἁμαρτίαν, ἔστης ἀνδρεῖος, μὴ μολύνας τῆς καθαρότητος τὴν στολήν· ἔνθεν καὶ Χριστὸς σε ἐδόξασε καὶ θαυμαστῶς διέσωσε ἀπὸ θανάτου πικροῦ· ὁσίως δὲ καὶ δικαίως πολιτευθείς, μέγας Πατὴρ ἀνεφάνης τοῖς ἀσκητικοῖς σου παλαίσμασι, ἐκτενῶς ἱκετεύων ὑπέρ τῶν ψυχῶν ἥμων.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.